[illegible]

ΑΒ ΓΔ. ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ
μείζονος· λειφθήσεταί τις ἀριθμὸς ὃς μετρήσει τὸν
πρὸ ἑαυτοῦ. μονὰς μὲν γὰρ οὐ λειφθήσεται· εἰ δὲ
μή, ἔσονται οἱ ΑΒ ΓΔ πρῶτοι πρὸς ἀλλήλους· ὅ
περ οὐχ ὑπόκειται. λειφθήσεταί τις ἄρα ἀριθμὸς ὃς
μετρήσει τὸν πρὸ ἑαυτοῦ. καὶ ὁ μὲν ΓΔ τὸν ΒΕ μετρῶν
λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΕΑ· ὁ δὲ ΕΑ τὸν ΔΖ με
τρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΓΖ· ὁ ΓΖ τὸν ΑΕ
μετρείτω. ἐπεὶ οὖν ὁ ΓΖ τὸν ΑΕ μετρεῖ· ὁ δὲ ΕΑ τὸν
ΔΖ μετρεῖ· καὶ ὁ ΓΖ ἄρα τὸν ΔΖ μετρήσει· μετρεῖ δὲ καὶ
ἑαυτόν· καὶ ὅλον ἄρα τὸν ΓΔ μετρήσει. ὁ δὲ ΓΔ τὸν
ΒΕ μετρεῖ· καὶ ὁ ΓΖ ἄρα τὸν ΒΕ μετρεῖ· μετρεῖ δὲ καὶ τὸν
ΕΑ· καὶ ὅλον ἄρα τὸν ΒΑ μετρήσει· μετρεῖ δὲ καὶ τὸν Γ
ὁ ΓΖ ἄρα τοὺς ΑΒ ΓΔ μετρεῖ· ὁ ΓΖ ἄρα τῶν ΑΒ ΓΔ
κοινὸν μέτρον ἐστί. λέγω δὴ ὅτι καὶ μέγιστον. εἰ γὰρ
μή ἐστιν ὁ ΓΖ τῶν ΑΒ ΓΔ μέγιστον κοινὸν μέτρον, με
τρήσει τις τοὺς ΑΒ ΓΔ ἀριθμοὺς ἀριθμὸς μεί
ζων ὢν τοῦ ΓΖ. μετρείτω καὶ ἔστω ὁ Η. καὶ ἐπεὶ ὁ Η τὸν
ΓΔ μετρεῖ· ὁ δὲ ΓΔ τὸν ΒΕ μετρεῖ· καὶ ὁ Η ἄρα τὸν ΒΕ
μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΒΑ· καὶ λοιπὸν ἄρα τὸν
ΑΕ μετρήσει· ὁ δὲ ΑΕ τὸν ΔΖ μετρεῖ· καὶ ὁ Η ἄρα τὸν
ΔΖ μετρήσει· μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· καὶ λοιπὸν ἄ
ρα τὸν ΓΖ μετρήσει· ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ
ἀδύνατον· οὐκ ἄρα τοὺς ΑΒ ΓΔ ἀριθμοὺς ἀ
ριθμός τις μετρήσει μείζων ὢν τοῦ ΓΖ· ὁ ΓΖ ἄρα
τῶν ΑΒ ΓΔ μέγιστόν ἐστι κοινὸν μέτρον· ὅπερ ἔδει

δεῖξαι ⁘
Ἐκ δὴ τούτου φανερὸν
ὅτι ἐὰν ἀριθμὸς δύο
ἀριθμοὺς μετρῇ, καὶ
τὸ μέγιστον αὐτῶν κοι
νὸν μέτρον μετρήσει.

Γ Τριῶν ἀριθμῶν δοθέντων
μὴ πρώτων πρὸς
ἀλλήλους. τὸ μέγιστον



ΜΒ Λ
ΙΒ Ϛ

[illegible]

αὐτῶν κοινὸν μέτρον εὑρεῖν. ἔστωσαν οἱ δοθέντες
τρεῖς ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ ΑΒΓ·
δεῖ δὴ τῶν ΑΒΓ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν. εἰ
λήφθω γὰρ δύο τῶν ΑΒ τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ·
ὁ δὴ Δ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ· μετρείτω πρό
τερον· μετρεῖ δὲ καὶ τοὺς ΑΒ· ὁ Δ ἄρα τοὺς ΑΒΓ με
τρεῖ· ὁ Δ ἄρα τῶν ΑΒΓ κοινὸν μέτρον ἐστί. λέγω δὴ
ὅτι καὶ μέγιστον· εἰ γὰρ μή ἐστιν ὁ Δ τῶν ΑΒΓ μέγιστον
κοινὸν μέτρον, μετρήσει τις τοὺς ΑΒΓ ἀριθμοὺς
ἀριθμὸς μείζων ὢν τοῦ Δ. μετρείτω καὶ ἔστω ὁ Ε.
ἐπεὶ ὁ Ε τοὺς ΑΒΓ μετρεῖ· καὶ τοὺς ΑΒ ἄρα μετρήσει·
καὶ τὸ τῶν ΑΒ ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει·
τὸ δὲ τῶν ΑΒ μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Ε ἄ
ρα τὸν Δ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν
ἀδύνατον· οὐκ ἄρα τοὺς ΑΒΓ ἀριθμοὺς ἀριθμὸς
τις μετρήσει μείζων ὢν τοῦ Δ· ὁ Δ ἄρα τῶν ΑΒΓ
μέγιστόν ἐστι κοινὸν μέτρον. μὴ μετρείτω δὴ ὁ Δ τὸν Γ·

BIBLIOTHECA BODLEIANA